ολλοὶ δὲ παρ' οὐδὲν ταύτην θέμενοι, τῇ αὐτῶν μοχθηρίᾳ ἐσχόλαζον. καὶ τὴν
μόνον Ἰουδαίοις τοῖς νόμοις τέρπεσθαι πόθου. ἀλλὰ δὴ καὶ οἱ φίλοι αὐτοῦ ἐκείνῳ
ἀκολουθεῖν, ἐφαμίλλως αὐτῷ φρονοῦντες ἠλέγχθησαν. Σαββάτιος μὲν οὖν
οὐ μικρὸς ἔμπροσθεν ἐμνήσθημεν, μὴ βουλόμενος ἐν τῷ οἰκείῳ τάγματι τῶν πρεσ-
βυτερίων μένειν, ἐπίσκοπον δὲ ἐξάρχειν αὐτός, ὑπὸ τὸν αὐτὸν χρόνον τῆς Ναυατιανῶν
ἐκκλησίας ἀνεχώρησε, πρόφασιν τὴν παρατήρησιν τοῦ Ἰουδαϊκοῦ πάσχα ποι-
ούμενος. παρασυνῆγεν οὖν τῷ ἐπισκόπῳ ἑαυτοῦ οἰκίσας ἐν τόπῳ τῆς πόλεως
ᾧ προσωνυμία Ξηρόλοφος, ἔνθα νῦν ἡ ἀγορὰ Ἀρκαδίου ὀνομάζεται, πρὸς
ἐτόλμησε πολλὰ κινδύνων ἄξια. ἐν ἡμέρᾳ γὰρ συνάξεως τὸ εὐαγγέλιον περὶ
οὗ ἀναγνωσθέντος, ἔνθα λέλεκται· ἦν δὲ ἡ ἑορτὴ ἡ λεγομένη τῶν Ἰουδαίων πάσχα,
προσέθηκε τὰ μηδαμοῦ γεγραμμένα, μήτε ἀκουσθέντα ποτέ· ἐπικα-
τάρατος ὁ ἔξω τῶν ἀζύμων τὸ πάσχα ποιῶν. τοῦτο ἀκουσθὲν ἐπὶ
δὲ θεὶς τοῖς πολλοῖς· καὶ οἱ ἀκεραιότεροι τῶν Ναυατιανῶν λαϊκοὶ
πρὸς αὐτὸν ἐχώρουν, διὰ τὸ πόμα τοῦ σοφίσματος. εἰς κακὸν γὰρ τελευτῆς
τῆς πλαστογραφίας κατέστρεψε. μετ' οὐ πολὺ γὰρ τὴν ὑπ' αὐτοῦ προληφθεῖσαν ἑορτὴν
ἐπετέλει· καὶ συνερχομένοις αὐτοῖς ἐξῆς πολλοί· καὶ τὴν ἐξῆς παννυχίδα
ποιούντων, θόρυβος δαιμόνιος ἐμπεσὼν εἰς αὐτούς, ὡς ἄρα Σισίννιος ὁ αὐτῶν
ἐπίσκοπος ἔρχεται κατ' αὐτῶν σὺν πολλῷ πλήθει· καὶ ταραχῆς γενομένης οἷα ἐν
νυκτὶ καὶ σκότει, ἐν τῷ ἀπολειφθῆναι αὐτοὺς ἑαυτοὺς συνέτριψαν· ὡς ἀπολέσθαι
ἐξ αὐτῶν ὑπὲρ τοὺς ἑβδομήκοντα ἀνθρώπους. τούτου γενομένου πολλοὶ τοῦ Σαββα-
τίου ἀπέστησαν· τινὲς δὲ αὐτῶν παρέμειναν τῇ ἀγροικικῇ προλήψει κρατούμενοι.
ἀλλὰ Σαββάτιος μὲν ὡς ἐπὶ τῇ ἐπιορκίᾳ παραλαβὼν ἐπίσκοπος, μικρὸν ὕστερον λέξομεν:

ωρόθεος ὁ τῆς Ἀρειανῆς προεστὼς θρησκείας, ὃν ἐκ τῆς Ἀντιοχείας ἐπὶ τῆς Κων-
σταντινουπόλεως μετενεχθῆναι ὑπὸ τῶν Ἀρειανῶν ἀμφοτέρων ἐμνημονεύσαμεν,
ἑκατὸν πρὸς τοῖς δεκαεννέα ἐπιβιοὺς ἔτη, ἐτελεύτησεν ἐν ὑπατείᾳ Ὁνω-
ρίου τὸ ἕβδομον καὶ Θεοδοσίου αὐτοῦ τὸ δεύτερον, τῇ ἕκτῃ τοῦ Νοεμβρίου μηνός.
μετὰ δὲ τοῦτον, τῆς Ἀρειανῆς θρησκείας προέστη Μάρινος. ἐπὶ τοῦτον δὲ τὸν
τοῦ Μαρίνου, διὰ τὸ ἄνδρε λογίμω τῆς Ἀρειανῶν θρησκείας αὐτῷ τυχεῖν τὴν
ἀξίαν πρεσβυτέρου ἐχόντων· Τιμόθεος θατέρῳ ὄνομα, τῷ δὲ ἑτέρῳ
Γεώργιος. ἀλλὰ Γεώργιος μὲν μᾶλλον τὴν Ἑλληνικὴν κατώρθωκε παίδευσιν·
Τιμόθεος δὲ πάλιν τὴν ἱερὰν ἤσκει τὰ γράμματα. καὶ μὲν καὶ τὸν Ἀριστοτέλους
καὶ Πλάτωνος ἀεὶ μετὰ χεῖρας εἶχεν ὁ Γεώργιος. Τιμόθεος δὲ τὸν Ὠριγένην,